# ΔΕΗΣΙΣ
# ΥΠΕΡ ΤΟΥ ΠΕΡΙΒΑΛΛΟΝΤΟΣ ΗΜΑΣ ΣΤΟΙΧΕΙΟΥ
# ΚΑΙ ΕΥΣΤΑΘΕΙΑΣ ΤΗΣ ΚΤΙΣΕΩΣ

Μετά τήν ὀπισθάμβωνον εὐχήν.

Ἀπολυτίκιον.Ἦχος δ΄. Ταχύ προκατάλαβε

Ὁ πάντα τῷ ρήματι παραγαγών ὡς Θεός, καί νόμους ἐνθέμενος καί κυβερνῶν ἀσφαλῶς, πρός δόξαν Σου, Κύριε, ἄπτωτα διατήρει καί ἀλώβητα, Σῶτερ, ἅπαντα τά στοιχεῖα, τά τήν γῆν συγκρατοῦντα, πρεσβείαις τῆς Θεοτόκου, καί σῶσον τά σύμπαντα.

Ὁ Διάκονος

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου, δεόμεθά Σου ἐπάκουσον καί ἐλέησον.

(Ὁ χορός ἀντιφωνεῖ μεθ' ἑκάστην δέησιν τό Κύριε, ἐλέησον).

Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ πατρός καί Ἀρχιεπισκόπου ἡμῶν …………… καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπέρ τοῦ περιβάλλοντος ἡμᾶς Στοιχείου, ἐπισκέψεως καί προστασίας αὐτοῦ καί εὐσταθείας πάσης τῆς Κτίσεως.

Ὁ Ἱερεύς

Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις καί Σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος

Τοῦ Κυρίου δεηθῶμεν

Ὁ χορός

Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς

Δέσποτα, Παντοκράτορ, ὁ Θεός ὁ μέγας καί θαυμαστός, ὁ ἀρρήτῳ σοφίᾳ κατ’ ἀρχάς δημιουργήσας τά σύμπαντα˙ ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ καί πλουσίᾳ προνοίᾳ διοικῶν αὐτά καί ἑνί ἑκάστῳ τῶν κτισμάτων οἰκείαν τάξιν θέμενος˙ ὁ πλάσας κατ’ εἰκόνα Σήν τόν ἄνθρωπον καί ὡς βασιλέα τῆς κτίσεως θέμενος αὐτόν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐτόν καί φυλάσσειν˙ Σύ, Κύριε, πρόσδεξαι ἡμῶν τῶν ἁμαρτωλῶν τάς ἱκετηρίους δεήσεις καί ρῦσαι τήν κτίσιν Σου, τήν ἡμῖν συστενάζουσαν καί συνωδίνουσαν, ἀπό τῶν ἐπαπειλούντων αὐτήν κινδύνων. Ἀπάλλαξον, Κύριε, τήν περιβάλλουσαν τήν γῆν ἀτμόσφαιραν παντός μολυσμοῦ καί διαταραχῆς. Τάς θαλάσσας, τούς ποταμούς καί τά ὑπό τήν γῆν ὕδατα, ἅπερ ἀρχῆθεν εἰς βροτῶν περιποίησιν παρήγαγες, διατήρησον ἀλώβητα ἐξ ἰοβόλων διαδόσεων, δι’ ὧν θάνατος ἀπειλεῖται. Ἐπισκίασον, τῇ θείᾳ Σου ἐνεργείᾳ, τά δασέα ὄρη, τά καρποφόρα ξύλα τοῦ πεδίου, τά θηρία καί πάντα τά κτήνη, τούς ἰχθύας, ἑρπετά καί πετεινά πτερωτά.

Παράσχου, Κύριε, τοῖς ἄρχουσιν καί τοῖς πλουσίοις τῆς γῆς, ἀλλά καί ἡμῖν τοῖς ἁμαρτωλοῖς, φρόνησιν τοῦ μή ἐνεργεῖν ἀσυνέτως, ὥστε φθοράν ἐπιφέρειν τῇ κτίσει Σου διά τῶν ἀνομιῶν ἡμῶν.

Πάντες ἐν ταπεινώσει ψυχῆς δεόμεθά Σου, Δέσποτα˙ ἀπάλλαξον πάσης βλάβης καί συντριβῆς χαλεπῆς τήν γῆν, ἥν οἰκοῦμεν, καί περιχαράκωσον αὐτήν τῇ δυναστείᾳ Σου. Δώρησαι πᾶσιν ἱλασμόν, σωτηρίαν καί θεῖον ἔλεος, πρεσβείαις τῆς Παναγίας Μητρός Σου καί πάντων τῶν Ἁγίων Σου. Ἀμήν.

Ὁ Χορός

Εἴη τό ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καί ἕως τοῦ αἰῶνος.